eul_wid: des-aa

*Ἄδηλος Συμποσιακά* · Convivial Songs Anonymous

# Hymns and Convivial Prayers

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Παλλὰς
book 1.2 Τριτογένει’ ἄνασς’ Ἀθηνᾶ, ὄρθου τήνδε πόλιν
book 1.3 τε καὶ πολίτας ἄτερ ἀλγέων ⟦τε⟧ καὶ στάσεων καὶ θανάτων ἀώρων, σύ τε καὶ πατήρ.
book 2.1 Πλούτου μητέρ’ Ὀλυμπίαν ἀείδω Δήμητρα
book 2.2 στεφανηφόροις ἐν ὥραις σέ τε
book 2.3 παῖ Διὸς
book 2.4 Φερσεφόνη· χαίρετον, εὖ δὲ τάνδ’ ἀμφέπετον πόλιν.
book 3.1 ἐν Δήλωι
book 3.2 ποτ’ ἔτικτε τέκνα Λατώ, Φοῖβον
book 3.3 χρυσοκόμαν ἄνακτ’ Ἀπόλλω ἐλαφηβόλον τ’ ἀγροτέραν Ἄρτεμιν, ἃ γυναικῶν μέγ’ ἔχει κράτος.
book 4.1 ὦ Πὰν Ἀρκαδίας μεδέων κλεεννᾶς, ὀρχηστὰ βρομίαις ὀπαδὲ Νύμφαις, γελάσειας ὦ Πὰν ἐπ’ ἐμαῖς εὐφροσύναις
book 4.2 ταῖσδ’ ἀοιδαῖς αοιδε κεχαρημένος.
book 5.1 ἐνικήσαμεν ὡς ἐβουλόμεσθα καὶ νίκην ἔδοσαν θεοὶ φέροντες
book 5.2 παρὰ Πανδρόσου ὡς φίλην Ἀθηνᾶν.
book 6.1 εἴθ’ ἐξῆν ὁποῖός
book 6.2 τις ἦν ἕκαστος τὸ στῆθος διελόντ’, ἔπειτα τὸν νοῦν ἐσιδόντα, κλείσαντα πάλιν, ἄνδρα φίλον νομίζειν ἀδόλωι
book 6.3 φρενί.
book 7.1 ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνητῶι, δεύτερον δὲ καλὸν
book 7.2 φυὰν γενέσθαι, τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως, καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.
book 8.1 ⟨–⟩ ἐκ γῆς
book 8.2 χρὴ κατίδην
book 8.3 πλόον εἴ τις δύναιτο καὶ παλάμην ἔχοι ἐπεὶ δέ κ’ ἐν πόντωι γένηται τῶι
book 8.4 παρεόντι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 8.5 τρέχειν ἀνάγκη.

book 9.1 ὁ δὲ καρκίνος ὧδ’ ἔφα

book 9.2 χαλᾶι τὸν ὄφιν λαβών· εὐθὺν

book 9.3 χρὴ τὸν ἑταῖρον ἔμ- [para]μεν καὶ μὴ σκολιὰ φρονεῖν.

book 10.1 ἐν μύρτου κλαδὶ τὸ ξίφος

book 10.2 φορήσω ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων ὅτε τὸν τύραννον κτανέτην ἰσονόμους τ’ Ἀθήνας ἐποιησάτην.

book 11.1 φίλταθ’ Ἁρμόδι’, οὔ τί πω τέθνηκας, νήσοις δ’ ἐν μακάρων σέ φασιν εἶναι, ἵνα

book 11.2 περ

book 11.3 ποδώκης Ἀχιλεὺς

book 11.4 Τυδεΐδην τέ φασι τὸν ἐσθλὸν Διομήδεα.

book 12.1 ἐν μύρτου κλαδὶ τὸ ξίφος

book 12.2 φορήσω ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων ὅτ’ Ἀθηναίης ἐν θυσίαις ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

book 13 αἰεὶ σφῶιν κλέος ἔσσεται κατ’ αἶαν, φίλταθ’ Ἁρμόδιε καὶ Ἀριστόγειτον, ὅτι τὸν τύραννον κτανέτην ἰσονόμους τ’ Ἀθήνας ἐποιησάτην.

book 14.1 Ἀδμήτου λόγον ὦ ἑταῖρε μαθὼν

book 14.2 τοὺς ἀγαθοὺς φίλει, τῶν δειλῶν δ’ ἀπέχου γνοὺς ὅτι δειλοῖς ὀλίγη χάρις.

book 15.1 παῖ Τελαμῶνος Αἶαν αἰχμητά, λέγουσί σε ἐς

book 15.2 Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν μετ’ Ἀχιλλέα.

book 16.1 τὸν

book 16.2 Τελαμῶνα

book 16.3 πρῶτον, Αἴαντα δὲ δεύτερον ἐς

book 16.4 Τροΐαν λέγουσιν ἐλθεῖν Δαναῶν μετ’ Ἀχιλλέα.

book 17.1 εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη καί με καλοὶ παῖδες φέροιεν Διονύσιον ἐς

book 17.2 χορόν.

book 18.1 εἴθ’ ἄπυρον καλὸν γενοίμην μέγα

book 18.2 χρυσίον καί με καλὴ γυνὴ φοροίη καθαρὸν θεμένη νόον.

book 19.1 σύν μοι πῖνε

book 19.2 συνήβα

book 19.3 συνέρα

book 19.4 συστεφανηφόρει, σύν μοι μαινομένωι μαίνεο, σὺν σώφρονι

book 19.5 σωφρόνει.

book 20.1 ὑπὸ παντὶ λίθωι

book 20.2 σκορπίος ὦ ἑταῖρ’ ὑποδύεται. φράζευ μή σε βάληι· τῶι δ’ ἀφανεῖ πᾶς ἕπεται δόλος.

book 21 ἁ ὗς τὰν βάλανον τὰν μὲν ἔχει, τὰν δ’ ἔραται λαβεῖν· κἀγὼ παῖδα καλὴν τὴν μὲν ἔχω, τὴν δ’ ἔραμαι λαβεῖν.

book 22.1 πόρνη καὶ βαλανεὺς

book 22.2 τωὐτὸν ἔχους’ ἐμπεδέως ἔθος· ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 22.3 ταὐτᾶι
book 22.4 πυέλωι τόν τ’ ἀγαθὸν τόν
book 22.5 τε κακὸν λόει.
book 23 ἔγχει καὶ Κήδωνι, διάκονε, μηδ’ ἐπιλήθου, εἰ χρὴ τοῖς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.
book 24.1 αἰαῖ Λειψύδριον
book 24.2 προδωσέταιρον, οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι ἀγαθούς
book 24.3 τε καὶ εὐπατρίδας, οἳ τότ’ ἔδειξαν οἵων
book 24.4 πατέρων ἔσαν.
book 25.1 ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλην ἔχει
book 25.2 τιμὴν ἔν
book 25.3 τε βροτοῖς ἔν
book 25.4 τε θεοῖσιν κατ’ ἐμὸν νόον.
book 26.1 ἐστί μοι
book 26.2 πλοῦτος μέγας δόρυ καὶ ξίφος καὶ τὸ καλὸν λαισήιον, πρόβλημα
book 26.3 χρωτός· τούτωι γὰρ ἀρῶ, τούτωι θερίζω, τούτωι
book 26.4 πατέω τὸν ἁδὺν οἶνον ἀπ’ ἀμπέλων,[ln_5]τούτωι δεσπότας μνοΐας κέκλημαι. τοὶ δὲ μὴ τολμῶντ’ ἔχειν δόρυ καὶ ξίφος καὶ τὸ καλὸν λαισήιον, πρόβλημα
book 26.5 χρωτός, πάντες γόνυ
book 26.6 πεπτηῶτες ἐμὸν 〈–〉 κυνέοντι δεσπόταν 〈––〉 [ln_10]καὶ μέγαν βασιλῆα
book 26.7 φωνέοντες.
book 27.1 οὐδὲν ἦν ἄρα τἄλλα
book 27.2 πλὴν ὁ χρυσός.
book 28 οὐδεὶς πώποτ’ ἀνὴρ ἔγεντ’ Ἀθήναις
book 29a οὐκ ἔστιν ἀλωπεκίζειν οὐδ’ ἀμφοτέροισι γίγνεσθαι φίλον.
book 29b.1 χρήματα καὶ βίαν Κλειταγόραι
book 29b.2 τε κἀμοὶ μετὰ Θετταλῶν.
book 30.1 οὐ χρὴ πόλλ’ ἔχειν θνητὸν ἄνθρωπον ἀλλ’ ἐρᾶν καὶ κατεσθίειν· σὺ δὲ κάρτα
book 30.2 φείδηι.
book 31 Βορέας·
book 33 τὸ Δάτιδος μέλος
book 34a.1 [....]αι θυγάτη[ρ [.]πλε[.]ασιτα φέρων [ [.]αμοι
book 34a.2 τεμένη β[.........]ων[
book 34b.1 [ἐ]νκέρασον
book 34b.2 Χαρίτων κρατῆ[ρ]’ ἐπιστ[ε]-[ln_1]φέα κρ[....... π]ρόπι[ν]ε | [λό]γον· σήμαιν’ ὅτι
book 34b.3 παρθένων ἀπε[ί]ροσι πλέξομεν ὕμνοις | [τ]ὰν δορὶ σώματι κειραμέναν
book 34b.4 Τρ[οΐ]αν[ln_5]καὶ [τ]ὸν
book 34b.5 παρὰ ναυσὶν ἀειμνά[σ]τοις ἁλόντα | νυκτιβάταν σκοπόν.
book 34c.1 ὦ Μοῦς’ ἀγανόμματε μᾶτερ
book 34c.2

συνεπίσπεο σῶν τέκνων | [..].ωι.[...]ωι· ἄρτι βρύουσαν ἀοιδὰν

book 34c.3 πρωτοπαγεῖ σοφίαι διαποίκιλον ἐκφέρομεν· |[ln_5][....]οι τέγξαν Ἀχελώιου δρόσ[οι·] [....] παραπροϊών, ὑφίει πόδα, λῦ’ ἑανοῦ | πτέρυγας, τάχος ἵεσο λεπτολίθων [......]ν· εὖ· καθόρα πέλαγος,[ln_10]παρὰ γᾶν | ἔκφευγε νότου

book 34c.4 χαλεπὰν

book 34c.5 φοβερὰ[ν διαπο]ντοπλανῆ μανίαν.